eul_wid: tco-ae

*Ἡφαιστίων ὁ Θηβαῖος* · Hephaestion of Thebes

# Excerpt

*Ἐκλογή*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Ἐπιστήμη* Science
**Format:** *Πραγματεία* Treatise

xxii Ὁ οὖν Κριὸς καὶ ὁ Ζυγὸς ὁρῶνται ὑπὸ τῶν δύο φώτων καὶ τοῦ Ἑρμοῦ καὶ οὐδεὶς τῶν κακοποιῶν ὁρᾷ. ἐν τούτοις ἐλθούσης τῆς Σελήνης [καὶ τοῦ Ἑρμοῦ], ἰδούσης καὶ τὸν Δία ἢ Ἀφροδίτην χωρὶς τῆς μαρτυρίας τῶν κακοποιῶν, χαρμοσύνας ἀγγελίας ἐποίσει, εἰ δὲ κακοποιοὶ σχηματίσουσιν ἀνώμαλα ἔσονται. πάλιν ὅ ἐστιν· οἱ μὲν ἓξ ἀστέρες ὡς προδέδεικται, μόνος δὲ ὁ Ἑρμῆς ἀλλαξάτω τὸ ζῴδιον, καὶ ἦν ἐν Ἰχθύσιν. νῦν οὖν ὁρῶνται ὁ Ταῦρος καὶ ὁ Σκορπίος ὑπὸ τοῦ Ἑρμοῦ καὶ τῶν κακοποιῶν· ἐν τούτοις ἐλθού σης τῆς Σελήνης τοῦ Ἑρμοῦ μαρτυροῦντος 〈...〉 Ὑπόδειγμα ἕτερον Μηνὶ Ἰουνίῳ αʹ ἰνδ. εʹ ἦλθεν ἀγγελία ἀπὸ τῆς δύσεως ὡς τοῦ μεγίστου κάστρου τῶν Σερβίων παρὰ τοῦ βασιλέως κρατηθέντος. Ἥλιος ἐν Διδύμοις ι , Σελήνη ἐν Σκορπίῳ ιδ , Κρόνος ἐν Λέοντι κβ , Ζεὺς ἐν Λέοντι η , Ἄρης ἐν Διδύμοις κα , Ἀφροδίτη ἐν Ταύρῳ ιθ , Ἑρμῆς ἐν Καρκίνῳ ς . ὁ ἀριθμὸς Ἑρμοῦ εἰς τὸν ὡροσκόπον τῆς πόλεως καὶ ἡ Ἀφροδίτη εἰς τὸν Ἥλιον τῆς πόλεως ἀκάκωτοι ὥστε αἱ ἐπεμβάσεις τοῦ Ἑρμοῦ καὶ τῶν ἀγαθοποιῶν εἰς τὰ φῶτα καὶ τὸν ὡροσκόπον τῆς πόλεως σημαίνουσιν.